# ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΠΑΦΟΥ

## Ευχαριστήριος προσευχή επί τω τερματισμώ ανομβρίας

Του Κυρίου δεηθώμεν

Κύριε ο Θεός ο Παντοκράτωρ ο πάσαν φύσιν λογικήν τε και άλογον διά του Λόγου σου δημιουργήσας, ο πάντα εξ ουκ όντων εις το έιναι παραγαγών, ο νεφέλαις διεξάγων της θαλάσσης το ύδωρ και υετόν κατά τον καιρόν αυτού επί την γην καταπέμπων προς καρποφορίαν και απόδοσιν παντοδαπών καρπών εις απόλαυσιν και τροφήν ανθρώποις τε και αλόγοις κτήνεσι, επάκουσον ημών δεομένων σου.

Συ ει ο ειπών "αιτείτε και δοθήσεται υμίν" και "πάντα όσα εάν αιτήσητε εν τη προσευχή πιστεύοντες λήψεσθε".Των Σων λόγων επόμενοι, εν τη εσχάτη ημών ταπεινώσει, ότε μεσούντος του χειμώνος οι ουρανοί εκλείσθησαν και οι ζωογόνοι κρουνοί εξηράνθησαν, συνήλθομεν εν ταπεινώσει και προς την Σην αγαθότητα θαρρούντες αίτησιν εποιήσαμεν του καταβρέχειν την γην ώστε μη απολλύμεθα τω επερχομένω λιμώ.

Και επήκουσας Κύριε ο Θεός ημών. Επήκουσας της ταπεινώσεως ημών. Και ιδού ο υετός καταβρέχει άπαν το πρόσωπον της γης και ευφραίνεται ο περιούσιος λαός Σου. Διό και νυν ευχαριστηρίους αύθις αναπέμπομεν Σοι δεήσεις. Ευχαριστούμεν Σοι Δέσποτα Κύριε, ευδιάλλακτε, μόνε ελεήμων και φιλάνθρωπε, διά την προς ημάς ευεργεσίαν σου ταύτην. Και νυν πρόσδεξαι, δεόμεθα, τας ευχαριστηρίους ικεσίας ημών των αμαρτωλών, ως προσεδέξω Αβελ τα δώρα, Νώε τας θυσίας και Αβραάμ τας ολοκαρπώσεις.

Εν αμαρτίαις εγεννήθημεν και εν τω ρερυπωμένω βίω κινούμεθα και εσμέν, αλλ' ουκ οίδαμεν προσκυνείν Θεώ αλλοτρίω. Σοι προσπίπτομεν εν ταπεινώσει και Σοι ευχαριστούμεν υπέρ πάντων των φανερών και αφανών ευεργεσιών ων εποίησας και ποιείς μεθ' ημών. Οτι Συ ει ο Θεός ημών ο εγγύς πάσι τοις επικαλουμένοις Σε και Σοι την δόξαν και ευχαριστίαν αναπέμπομεν τω Πατρί και τω Υιώ και τω Αγίω Πνεύματι νυν και αεί και εις τους αιώνας των αιώνων αμήν.

Ταχ. Κιβ. 60054, 8100 Πάφος - Κύπρος. Τηλ. 26 821 000, Φαξ. 26 943 130
e-mail: metropolis@impaphou.org